ΟΡ. οἰχόμεσθ᾽, ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.
ΠΥ. συγκατασκάπτοις ἂν ἡμᾶς· κοινὰ γὰρ τὰ τῶν φίλων.
ΟΡ. Μενέλεως κάκιστος ἐς ἐμὲ καὶ κασιγνήτην ἐμήν.
ΠΥ. εἰκότως κακῆς γυναικὸς ἄνδρα γίγνεσθαι κακόν.
ΟΡ. ὥσπερ οὐκ ἐλθὼν ἔμοιγε ταὐτὸν ἀπέδωκεν μολών.
ΠΥ. ἦ γάρ ἐστιν ὡς ἀληθῶς τήνδ᾽ ἀφιγμένος χθόνα;
ΟΡ. χρόνιος· ἀλλ᾽ ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.
ΠΥ. καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;
ΟΡ. οὐκ ἐκεῖνος, ἀλλ᾽ ἐκείνη κεῖνον ἐνθάδ᾽ ἤγαγεν.
ΠΥ. ποῦ ᾽στιν ἣ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία;
ΟΡ. ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ᾽ ἐμοὺς καλεῖν χρεών.
ΠΥ. σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;
ΟΡ. μή μ᾽ ἰδεῖν θανόνθ᾽ ὑπ᾽ ἀστῶν καὶ κασιγνήτην ἐμήν.
ΠΥ. πρὸς θεῶν, τί πρὸς τάδ᾽ εἶπε; τόδε γὰρ εἰδέναι θέλω.
ΟΡ. ηὐλαβεῖθ᾽, ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
ΠΥ. σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ᾽ ἔχω μαθών.
ΟΡ. οὗτος ἦλθ᾽, ὁ τὰς ἀρίστας θυγατέρας σπείρας πατήρ.
ΠΥ. Τυνδάρεων λέγεις· ἴσως σοι θυγατέρος θυμούμενος;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id405339755/49 UNIVERSITÄT LEIPZIG